49 [1]Ἐκάλεσεν δὲ Ιακωβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν
Συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν,
τί ἀπαντήσει ὑμῖν ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν·
2 [2]ἀθροίσθητε καὶ ἀκούσατε, υἱοὶ Ιακωβ,
ἀκούσατε Ισραηλ τοῦ πατρὸς ὑμῶν.
3 [3]Ρουβην, πρωτότοκός μου σύ,
ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου,
σκληρὸς φέρεσθαι καὶ σκληρὸς αὐθάδης.
4 [4]ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς·
ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου·
τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης.
5 [5]Συμεων καὶ Λευι ἀδελφοί·
συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν.
6 [6]εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου,
καὶ ἐπὶ τῇ συστάσει αὐτῶν μὴ ἐρείσαι τὰ ἥπατά μου,
ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους
καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον.
7 [7]ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης,
καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη·
διαμεριῶ αὐτοὺς ἐν Ιακωβ
καὶ διασπερῶ αὐτοὺς ἐν Ισραηλ.
8 [8]Ιουδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου·
αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου·
προσκυνήσουσίν σοι οἱ υἱοὶ τοῦ πατρός σου.
9 [9]σκύμνος λέοντος Ιουδα·
ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης·
ἀναπεσὼν ἐκοιμήθης ὡς λέων
καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;
10 [10]οὐκ ἐκλείψει ἄρχων ἐξ Ιουδα
καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ,
ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ,
καὶ αὐτὸς προσδοκία ἐθνῶν.
11 [11]δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ
καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ·
πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ
καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ·
12 [12]χαροποὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου,
καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.

49 1 ειπεν] + αυτοις B || 2 αθροισθ.] συναχθητε B | ακουσ. 1º] + μου B | του] pr. ακουσατε B† || 7 διασπερω] διασκορπιω A† || 8 σοι] σε A || 12 χαροποι pau.] -ποιοι BA | απο οινου] υπερ οινον B†